# TEZAUR LITURGIC

## 22 NOIEMBRIE

APOSTOLOS PAPAHRISTOUS

# PARACLISUL SF.MUCENICI CECILIA,VALERIAN ŞI TIBURTIE DE LA ROMA

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ЄΚΚΛΗϹΙΑϹ ΤΗϹ ЄΛΛΑΔΟϹ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΚΙΚΙΛΙΑΣ, ΒΑΛΛΕΡΙΑΝΟΥ ΚΑΙ ΤΙΒΟΥΡΤΙΟΥ

## ΠΟΙΗΜΑ ΑΠΟΣΤΟΛΟΥ ΠΑΠΑΧΡΗΣΤΟΥ

Ο ιερεύς: Ευλογητός ο Θεός ημών πάντοτε νυν και αεί και εις τους αιώνας των αιώνων. Ο Αναγνώστης. Αμήν.

Ψαλμός ρμβ’ (142)

Και ευθύς το˙ Θεός Κύριος, εξ εκατέρων των Χορών, ως εξής: Ήχος δ’.

Θεός Κύριος, και επέφανεν ημίν˙ Ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

Στίχ. α’. Εξομολογείσθε τω Κυρίω, ότι αγαθός˙ ότι εις τον αιώνα το έλεος αυτού.

Στίχ. β’. Πάντα τα έθνη εκύκλωσάν με, και τω ονόματι Κυρίου ημυνάμην αυτούς.

Στίχ. γ’. Παρά Κυρίου εγένετο αύτη, και έστι θαυμαστή εν οφθαλμοίς ημών.

Είτα τα παρόντα Τροπάρια.

Ήχος δ’. Ο υψωθείς εν τω Σταυρώ.

Της Κικιλίας τη εικόνι προσπέσωμεν, και Τιβουρτίου γενναιόφρονος μάρτυρας, και αθληταίς εκλάμψαντός τε Βαλλεριανού, κράζοντες και λέγοντες˙ Αθλοφόροι Κυρίου, πάσης ημάς θλίψεως και παθών και κινδύνων, και εκ δαιμόνων ρύσασθε ημάς, και ουρανίου ζωής αξιώσατε.

Δόξα… Και νυν…

Ου σιωπήσωμεν ποτέ Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι ειμή γαρ συ προΐστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο εκ τοσούτων κινδύνων; τίς δε διεφύλαξεν έως νυν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σου˙ σους γαρ δούλους σώζεις αεί εκ παντοίων δεινών.

Ψαλμός ν’ (50).

Είτα ψάλλομεν τον Κανόνα ου η ακροστιχίς:

Κικιλία σώσον με ευχαίς σου. Αποστόλου.

Ωδή α’. Ήχος πλ. δ’. Ο Ειρμός.

Υγράν διοδεύσας ωσεί ξηράν, και την αιγυπτίαν μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα˙ τω Λυτρωτή και Θεώ ημών άσωμεν. (δις).

Κυρίω παρίστασθε και Θεώ, σεπτοί αθλοφόροι, τρισαγίαις τε εν ωδαίς˙ Αυτόν ανυμνούντες, την ειρήνην, την υπέρ νουν ημίν πάσι δωρήσασθε.

Ιλύος υπάρχοντες των παθών, σεπτοί αθλοφόροι συν στερρώ Βαλλεριιιιανώ, Τιβούρτιε άμα Κικιλία, ευχές υμών προς Θεόν διασώσατε.

Κινδύνων εκ θλίψεων και παθών, κακών εξ ανθρώπων, και δαιμόνων των πονηρών, ημάς εκλυτρώσασθε τους πίστει, προς τον ναόν υμών Άγιοι σπεύδοντας.

Είδον σε Πανάχραντε Μαριάμ, βροτών θυγατέρα, άλλ' εδείχθης Μήτηρ Θεού, Χριστού του απάντων Βασιλέως˙ ον εκδυσώπει σωθήναι τους δούλους σου.

Ωδή γ'. Ο Ειρμός.

Ουρανίας αψίδος, οροφουργέ Κύριε, και της Εκκλησίας δομήτορ, συ με στερέωσον, εν τη αγάπη τη ση, των εφετών η ακρότης, των πιστών το στήριγμα, μόνε φιλάνθρωπε. (δις).

Λαμπροφόρους αγγέλους, ώ αθληταί έχοντες, φως εν καθ' εκάστη ημέρα υμίν παρέχοντας, του Ζωοδότου

Χριστού˙ όθεν δεόμεθα πίστει, φως ημίν το άκτιστον πάσι δωρήσασθε.

Ιλαρόν με ποιήσατε δότην ώ ένδοξοι, και τας εντολάς του Κυρίου αεί εργάζεσθε˙ όπως του Πνεύματος, αξιωθώ του γενέσθαι, θείον καταγώγειον μακαριώτατοι.

Από πάσης απάτης του δυσμενούς ρύσασθε, άμα και κακίας, ώ άγιοι δυσωπώ υμάς, ώ Κικιλία τε, συν Τιβουρτίω τω θείω, Βαλλεριανέ μαρτύρων όντως οι πρόκριτοι.

Συλλαβούσα ασπόρως τον του παντός Δέσποινα, Κύριον και Κτίστην, και τούτον έτεκες, Θεόν και άνθρωπον ˙ διο σε Άνασσα πάντες, έχοντες, υμνούμεν σε, μόνη Πανύμνητε.

Λυτρώσατε ημάς κινδύνων αοίδιμοι αθλοφόροι˙ ότι πάντες ταις προς Θεόν ευχαίς υμών έχομεν, διάσωσμα, τείχος και προστασία.

Επίβλεψον, εν ευμενεία πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν, και ίασαι της ψυχής μου το άλγος.

Κάθισμα. Ήχος β’. Τα άνω ζητών.

Προστάται θερμοί και σκέπη και βοήθεια, και τείχος ημίν εδείχθητε αοίδιμοι, Βαλλεριανέ, θαυμάσιε, Κικιλία σεμνή και ένδοξε Τιβούρτιε. Παρεστηκότες θρόνω του Χριστού, πρεσβείαν ποιείτε υπέρ πάντων ημών.

Ωδή δ’. Ο Ειρμός.

Εισακήκοα Κύριε, της οικονομίας σου το μυστήριον˙ κατενόησα τα έργα σου, και εδόξασά σου την Θεότητα. (δις).

Ώ Τριάς η αοίδιμος, πύργοι της Εκκλησίας οι ακαθαίρετοι, την Τριάδα την υπέρθεον, υπέρ πάντων Άγιοι πρεσβεύσατε.

Συνεχόμενον Άγιοι νόσοις ανιάτοις ψυχής και σώματος, ιατρεύσατέ με δέομαι, τη επιστασία τη φρικτή υμών.

Ου λιμός ουδέ θάνατος, Βαλλεριανέ και Τιβούρτιε, Κικιλία της Χριστού χαράς, μάρτυρες σοφοί υμάς εχώρισεν.

Νόσοι πάσαι διώκονται, ση επιστασία Αγνή Θεόνυμφε. Όθεν χαίρε σοι κραυγάζομεν τη ση βοηθεία υγιαίνοντες.

Ωδή ε’. Ο Ειρμός.

Φώτισον ημάς, τοις προστάγμασί σου, Κύριε, και τω βραχίονί σου τω υψηλώ, την σην ειρήνην, παράσχου ημίν φιλάνθρωπε. (δις).

Μνήσθητε ημών των αεί τιμώντων Άγιοι, υμών μαρτύριά τε και την σφαγήν, και θείαν δόξαν κηρυττόντων εν τοις πέρασι.

Έχοντες σοφοί παρρησίαν προς τον Κύριον, της αθυμίας ημάς ρύσασθε, και την ειρήνην ημίν Κυρίου δωρήσασθε.

Έναν τον Θεόν τριλαμπή αεί λατρεύοντες, ώ Κικιλία και Τιβούρτιε, Βαλλεριανέ τε φωτί ημάς Αυτού φωτίσατε.

Ύμνον τον ημών, δέχου Πάναγνε Μητρόθεε, η μόνη όντως αξιύμνητος, ως υπ’ αγγέλων Μήτηρ ούσα του Παντάνακτος.

Ωδή ς’. Ο Ειρμός.

Την δέησιν εκχεώ προς Κύριον, και αυτώ απαγγελώ μου τας θλίψεις˙ ότι κακών, η ψυχή μου επλήσθη, και η ζωή μου τω άδη προσήγγισε˙ και δέομαι ως Ιωνάς˙ εκ φθοράς ο Θεός με ανάγαγε. (δις).

Χαράς υμείς της αλήκτου Άγιοι απολαβόντες και δόξης Κυρίου, τους εν πικραίς όντας θλίψεσι βίου, εν φυλακαίς αιχμαλώτους τε ρύσασθε, δοξάζοντας υμάς αεί ως προστάτας και ρύστας πανεύφημοι.

Ανίατος αρρωστία ουκ έστι, δι’ υμάς ώ του Χριστού στρατιώται˙ Διο τυφλοί και κωφοί και χωλοί τε, και οι παράλυτοι ρώσιν ευρίσκουσι, ειμή υμών τα ιερά εκζητήσουσι θεία ονόματα.

Ιλάσθητι τας ημών αμαρτίας, Ιησού Χριστέ των δούλων σου Σώτερ, ταις προσευχαίς Κικιλίας της θείας, και Τιβουρτίου ενδόξου τε μάρτυρος, κλεινού τε Βαλλεριανού, και κινδύνων ημάς διαφύλαξον.

Συνάπτονται επί σοι Θεοτόκε, ουρανού και γης τα πριν διεστώτα. Ο γαρ Θεός εκ λαγόνων προήλθε, των σων, και θάνατον φρούδον απέδειξεν, την γην ποιήσας ουρανόν, και ζωήν πάσι άληκτον δέδωκεν.

Λυτρώσατε ημάς κινδύνων αοίδιμοι αθλοφόροι˙ ότι πάντες ταις προς Θεόν ευχαίς υμών έχομεν, διάσωσμα, τείχος και προστασία.

Άχραντε, η δια λόγου τον Λόγον ανερμηνεύτως, επ' εσχάτων των ημερών τεκούσα, δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ήχος β'.Προστασία των Χριστιανών.

Προστασία των Χριστιανών ανεδείχθητε, τη πρεσβεία τη υμών προς Κύριον ένδοξοι. Μη ελλείπητε συμπαθώς φυλάσσοντες ημάς˙ αλλά ρύσασθε λοιμού, σεισμού, λιμού, πολέμου και πυρός, και κινδύνων και θλίψεων˙ φύλακες οθροδόξων, θέριστρα κακοδόξων, οι κατευθύνοντες ημάς, προς ζωήν την ατελεύτητον.

Είτα το α' Αντίφωνον των Αναβαθμών του δ' Ήχου.

Εκ νεότητός μου, πολλά πολεμεί με πάθη˙ άλλ' αυτός αντιλαβού, και σώσον, Σωτήρ μου. (δις).

Οι μισούντες Σιών, αισχύνθητε από του Κυρίου˙ ως χόρτος γαρ, πυρί έσεσθε απεξηραμένοι. (δις).

Δόξα...

Αγίω Πνεύματι, πάσα ψυχή ζωούται, και καθάρσει, υψούται, λαμπρύνεται, τη Τριαδική μονάδι, ιεροκρυφίως.

Και νυν ...

Αγίω Πνεύματι, αναβλύζει τα της χάριτος ρείθρα, αρδεύοντα, άπασαν την κτίσιν, προς ζωογονίαν.

Και ευθύς το Προκείμενον.

Θαυμαστός ο Θεός εν τοις Αγίοις αυτού˙ ο Θεός Ισραήλ, αυτός δώσει δύναμιν και κραταίωσιν τω λαώ αυτού. Ευλογητός ο Θεός... (δις)

Στίχ. Εν Εκκλησίαις ευλογείτε τον Θεόν, Κύριον εκ πηγών Ισραήλ.

Είπεν ο Κύριος˙ οράτε, μη καταφρονήσητε ενός των μικρών τούτων˙ λέγω γαρ υμίν, ότι οι Άγγελοι αυτών εν ουρανοίς διαπαντός βλέπουσι το πρόσωπον του Πατρός μου του εν ουρανοίς. Ήλθε γαρ ο Υιός του ανθρώπου σώσαι το απολωλός. Τί υμίν δοκεί; Εάν γένηταί τινί ανθρώπω εκατόν πρόβατα, και πλανηθή εν εξ αυτών, ουχί αφείς τα ενενήκοντα εννέα, επί τα όρη, πορευθείς ζητεί το πλανώμενον; Και εάν γένηται ευρείν αυτό, αμήν λέγω υμίν, ότι χαίρει επ’ αυτώ μάλλον, ή επί τοις ενενήκοντα εννέα, τοις μη πεπλανημένοις. Ούτως ουκ έστι θέλημα έμπροσθεν του Πατρός υμών του εν ουρανοίς, ίνα απόληται εις των μικρών τούτων. Εάν δε αμαρτήση εις σε ο αδελφός σου, ύπαγε και έλεγξον αυτόν μεταξύ σου και αυτού μόνου˙ εάν σου ακούση, εκέρδησας τον αδελφόν σου˙ εάν δε μη ακούση, παράλαβε μετά σου έτι ένα ή δύο, ίνα επί

στόματος δύο μαρτύρων ή τριών σταθή παν ρήμα˙ εάν δε παρακούση αυτών, ειπέ τη εκκλησία˙ εάν δε και της εκκλησίας παρακούση, έστω σοι ώσπερ ο εθνικός και ο τελώνης. Αμήν λέγω υμίν, όσα εάν δήσητε επί της γης, έσται δεδεμένα εν τω ουρανώ˙ και όσα εάν λύσητε επί της γης, έσται λελυμένα εν τω ουρανώ. Πάλιν αμήν λέγω υμίν, ότι εάν δύο υμών συμφωνήσωσιν επί της γης περί παντός πράγματος, ου εάν αιτήσωνται, γενήσεται αυτοίς παρά του Πατρός μου του εν ουρανοίς. Ου γαρ εισί δύο ή τρεις συνηγμένοι εις το εμόν όνομα, εκεί ειμί εν μέσω αυτών.

Δόξα...Ήχος πλ. β'.

Ταις των αθλοφόρων πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν...

Ταις της Θεοτόκου, πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Ήχος ο αυτός. Όλην αποθέμενοι.

Στίχ. Ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Μη εγκαταλείπετε, ημάς Χριστού αθλοφόροι, άλλ' αεί φρουρήσατε τους υμίν προσπίπτοντας παμμακάριστοι˙ εκ παθών ρύσασθε, ημάς ολεθρίων, αλγηδόνων ψυχοφθόρων τε, φρενών κακώσεων και δαιμονικών επιθέσεων, κακίας εκ μαγείας τε, πάσης άλλης βλάβης και θλίψεως˙ ίνα απαλλαγέντες δοξάζωμεν Τριάδα την σεπτήν, και την υμών μεγαλύνωμεν, άθλησιν πανεύφημοι.

Ωδή ζ'. Ο Ειρμός.

Οι εκ της Ιουδαίας, καταντήσαντες παίδες εν Βαβυλώνί ποτέ, τη πίστει της Τριάδος, την φλόγα της καμίνου, κατεπάτησαν ψάλλοντες˙ Ο των πατέρων ημών, ο Θεός ευλογητός ει. (δις).

Συνεχόμενος οίμοι, πειρασμοίς εκ δαιμόνων και αθυμίας πολλής, τω πλήθει των πταισμάτων ποντούμενος κραυγάζω, ως ο Πέτρος Χριστώ ποτέ. Προς αφθαρσίαν σοφοί, ταχύ υψώσατέ με.

Οδηγοί ημίν πάσι, αθλοφόροι Κυρίου υμείς υπάρχοντες, νυκτί και εν ημέρα, θαλάσσει και αέρι, και εν γη ανακράζοντας, τω Ζωοδότι Χριστώ˙ αεί ευλογητός ει.

Δόξα...

Υμάς μάρτυρες θείοι, αρωγούς κεκτημένοι πάντων λυτρούμεθα, δεινών ώ Κικιλία, συν Βαλλεριανώ τε, και Τιβούρτιε κράζοντες˙ Ο των πατέρων ημών, Θεός ευλογητός ει.

Και νυν…

Ακατάφλεκτε βάτε, αδιόδευτε πύλη γη αγεώργητε, Συ ει Παρθενομήτορ˙ το χαίρε όθεν πίστει, του αγγέλου Σοι κράζομεν. Χαίρε ώ Μήτερ Θεού, αεί ευλογημένη.

Ωδή η’. Ο Ειρμός.

Τον Βασιλέα των Ουρανών, ον υμνούσι, στρατιαί των Αγγέλων, υμνείτε και υπερυψούτε, εις πάντας τους αιώνας. (δις).

Πάσαν την κτίσιν, ώ αθλοφόροι Κυρίου, διατρέχετε, πάντας βοηθούντες, τους υπερυψούντας, Χριστόν εις τους αιώνας.

Οι στρατιώται, του Βασιλέως της δόξης, τους εν γη, θαλάσση και αέρι, βοηθείτε στρατιώτας, νικάν τους αλλοπίστους.

Δόξα…

Συν Κικιλία, Τιβούρτιόν τε υμνούμεν, εν ωδαίς και τον Βαλλεριανόν τε, ίνα των κινδύνων και θλίψεων ρυσθώμεν.

Και νυν...

Την Πλατυτέραν των ουρανών ανυμνούμεν, και της κτίσεως πάσης ανωτέρα, ίνα ταις πρεσβείαις, αυτής, πιστοί σωθώμεν.

Ωδή θ'. Ο Ειρμός.

Κυρίως Θεοτόκον, σε ομολογούμεν, οι δια σου σεσωσμένοι, Παρθένε, αγνή, συν Ασωμάτοις χορείαις, σε μεγαλύνοντες. (δις).

Ο θείος υμών οίκος, θείον ιατρείον, ταις γυναιξί στείραις ώφθη μακάριοι, εισερχομένων γαρ πίστει, εύκαρποι δείκνυνται.

Λαός των ορθοδόξων, χαίρει και γεραίρει, υμών τα θαύματα Κικιλία, Τιβούρτιε, Βαλλεριανέ και κηρύττει ταύτα τοις πέρασι.

Δόξα...

Ολόφωτοι Κυρίω, σοφοί, παρεστηκότες, μαρτυρικαίς εν στολαίς κλεϊζόμενοι, εις το σωθήναι ημάς αυτών ικετεύσατε.

Και νυν...

Υπέρτιμε Μαρία, αγγέλων και ανθρώπων, και πάσης κτίσεως καύχημα μέγιστον, τον σον Υιόν εκδυσώπει, σώσαι τους δούλους σου.

Άξιόν εστίν ως αληθώς, μακαρίζειν σε την Θεοτόκον, την αειμακάριστον και παναμώμητον και μητέρα του Θεού ημών. Την τιμιωτέραν των Χερουβείμ και ενδοξοτέραν ασυγκρίτως των Σεραφείμ, την αδιαφθόρως Θεόν Λόγον τεκούσαν˙ την όντως Θεοτόκον σε μεγαλύνομεν.

Και θυμιά ο ιερεύς το Θυσιαστήριον και τον λαόν ή τον οίκον όπου ψάλλεται η Παράκλησις˙ και ημείς ψάλλομεν τα παρόντα Μεγαλυνάρια.

Δεύτε την εικόνα την ιεράν, των σεπτών μαρτύρων, ασπασώμεθα ευλαβώς, βρύει γαρ ιάσεις, τους δαίμονας διώκει, πιστούς ευωδιάζει, χάριτι Πνεύματος.

Χαίρετε μαρτύρων η καλλονή, εκκλησίας στήλη, ορθοδόξων καταφυγή, μάρτυς Κικιλία, Τιβούρτιε θεόφρον, και Βαλλεριανέ τε, πάντας φρουρήσατε.

Δεύτε οι οχλούμενοι εκ φρενών, βλάβης ψυχοφθόρων, αλγηδόνων των δυσμενών, τω ναώ προθύμως,

προσέλθωμεν μαρτύρων, ιάσεις κομιούντες, τούτους γεραίροντες.

Οι εν νόσοις πάντες παντοδαπαίς, και εν ανιάτοις, νυν προσπέσωμεν τοις ποσί, θείων αθλοφόρων, και γαρ ιώνται πάντες, χαράν και ευφροσύνην, νέμουσι πάντοτε.

Των δαιμόνων ρύσασθε των πικρών, θείοι στεφανίται, και μαγείας της φοβεράς, τοις υμών τω οίκω, εν πίστει προσιούσι, δωρούμενοι ειρήνην, ως συμπαθέστατοι.

Γη την ευφορίαν ως αγαθοί, δότε, και υγείαν, πάσι κτήνεσι τοις ημών, όμβρους εκ Κυρίου, ευκράτους τους αέρας, υμάς υμνολογούντας, πάντοτε άγιοι.

Σχόντες παρρησία μαρτυρική, προς τον ειρηνάρχην, και Σωτήρα ημών Χριστόν, πάσι την ειρήνην βραβεύσατε, και πράττειν, το θέλημα Κυρίου, πάντας φωτίσατε.

Δέσποινα και Μήτηρ του Λυτρωτού, συν τοις Ασωμάτοις, Αποστόλοις, και Βαπτιστή, πάσι τοις αγίοις, και θείοις αθλοφόροις, τον σον Υιόν δυσώπει, σώζεσθαι άπαντας.

Απολυτίκιον των Αγίων.
Ήχος πλ. α'. «Τον Συνάναρχον Λόγον».

Κικιλίαν την ένδοξον ευφημήσωμεν, συν Βαλλεριανώ και Τιβουρτίω ομού, τους καλώς υπέρ Τριάδος εναθλήσαντας. Όθεν και βρύουσι πιστοίς, ιαμάτων τους κρουνούς, και βλάβης εκ των δαιμόνων, βροτούς αεί εκλυτρούνται, και σωτηρίαν πάσι βραβεύουσιν.

Εάν μη, ψάλλονται τα παρόντα. Ήχος πλ. β'.

Ελέησον ημάς, Κύριε, ελέησον ημάς˙ πάσης γαρ απολογίας απορούντες, ταύτην σοι την ικεσίαν, ως Δεσπότη, οι αμαρτωλοί προσφέρομεν˙ ελέησον ημάς.

Δόξα...

Κύριε, ελέησον ημάς˙ επί σοι γαρ πεποίθαμεν˙ μη οργισθής ημίν σφόδρα, μηδέ μνησθής των ανομιών ημών˙ άλλ' επίβλεψον και νυν ως εύσπλαχνος, και λύτρωσαι ημάς εκ των εχθρών ημών˙ συ γαρ ει Θεός ημών, και ημείς λαός σου˙ πάντες έργα χειρών σου, και το όνομά σου επικεκλήμεθα.

Και νυν...

Της ευσπλαχνίας την πύλην άνοιξον ημίν, ευλογημένη Θεοτόκε˙ ελπίζοντες εις σε˙ μη αστοχήσωμεν˙ ρυσθείημεν δια σου των περιστάσεων. Συ γαρ ει η σωτηρία του γένους των Χριστιανών.

Δόξα σοι Χριστέ ο Θεός, η ελπίς ημών, δόξα σοι. Χριστός ο αληθινός Θεός ημών, ταις πρεσβείαις της παναχράντου και παναμώμου αγίας Αυτού Μητρός˙ των αγίων ενδόξων και πανευφήμων Αποστόλων˙ των αγίων ενδόξων και καλλινίκων Μαρτύρων (του αγίου του Ναού)˙ των αγίων ενδόξων μαρτύρων Κικιλίας, Βαλλεριανού και Τιβουρτίου˙ των αγίων και Δικαίων θεοπατόρων Ιωακείμ και Άννης, (του αγίου της ημέρας, ου την μνήμην επιτελούμεν) και πάντων των Αγίων, ελεήσαι και σώσαι ημάς, ως αγαθός και φιλάνθρωπος.

Των Χριστιανών ασπαζομένων την εικόνα των Αγίων, ψάλλονται τα παρόντα Τροπάρια.

Ήχος β’. Ότε εκ του ξύλου.

Πάντων προστατεύετε σοφοί, η σεπτή τριάς των μαρτύρων, των προστρεχόντων αεί, πίστει παμμακάριστοι υπό την σκέπην υμών, των εν νόσοις κινδύνων τε, δεινών ψυχοφθόρων, βλάβης εκ δαιμόνων τε και εκ μαγείας πικράς, βλάβης εκ φρενών και παντοίας, νόσου ανιάτου˙ υγείαν, πάσι παναοίδιμοι βραβεύετε.

Πάντες καταφεύγοντες αεί, σκέπη τε υμών τη αγία, ώ Κικιλία σεμνή, Βαλλεριανέ σοφέ συν Τιβουρτίω κλεινώ˙

εν νυκτί, εν ημέρα τε, ερήμω και πόλει, όρεσι, θαλάσση τε και εν αέρι ομού. Πάντες τους προστάτας υμνούμεν, τους υμών, Τριάδα την θείαν, ίλεων γενέσθαι απειργάσασθε.

Δέσποινα, πρόσδεξαι τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς ,από πάσης ανάγκης και θλίψεως.
Την πάσαν ελπίδα μου εις σε ανατίθημι, Μήτηρ του Θεού˙ φύλαξόν με υπό την σκέπην σου.

